ζω, ἑώρταζον, ὀκ ἡόρταζον.

'Αόρισος Πρῶτος.

§ τ'. Ὁ πρῶτος 'Αόρισος ἀπὸ τȣ͂ πρώτȣ Μέλλοντος, τροπῆ τȣ͂ ω, εἰς α. οἷον, τύψω, ἔτυψα. Ἔχει δὲ τὴν αὐτὴν παραλήγȣσαν τῷ μέλλοντι.

§. τά. Φυλάττει δὲ ἀεὶ ὁ 'Αόρισος τὸ σύμφωνον τȣ͂ Μέλλοντος. οἷον, λέξω, ἔλεξα. ποιήσω, ἐποίησα. Σεσημείωται τὸ ἔδωκα, ἔθηκα, ἤνεγκα, ἧκα, εἶπα, ἔξω τȣ͂ κανόνος.

§. τβ'. Σημειώσῃ δὲ καὶ τȣ̀ς τῆς πέμπτης Συζυγίας 'Αορίσȣς πρώτȣς, φύσει μακρᾷ παραλήγοντας ὅτε γὰρ ὁ Μέλλων αὐτῶν περισπώμενος ἔχει ε, ὁ 'Αόρισος προσλαμβάνει ι. οἷον, νεμῶ, ἔνειμα. σπερῶ, ἔσπειρα, σελῶ, ἔσειλα.

§. τγ'. Ὅτε δὲ τὸ α, μόνον, ἔχει ὁ Μέλλων, τρέπει αὐτὸ εἰς η, ὁ 'Αόρισος. οἷον, ψαλῶ, ἔψηλα. ἀγαλῶ, ἤγηλα. Ὅτε δὲ τὸ α, ἀπὸ τῆς αι, διφθόγγȣ, ὁμοίως τρέπει αὐτὸ εἰς η, ἢ φυλάττει αὐτὸ μακρόν. οἷον, φαίνω, φανῶ, ἔφηνα. χαίνω, χανῶ, ἔχηνα. σημαίνω, σημανῶ, ἐσήμηνα, καὶ ἐσήμανα. καὶ ἐθέρμανα, καὶ ἐχλίανα, τȣ͂ α μακρȣ͂ ὄντος.

'Αόρισος Δεύτερος.

§. τδ'. Ὁ Δεύτερος 'Αόρισος εἰς ον λήγει. Φυλάττει δὲ ἀεὶ τὸ σύμφωνον τȣ͂ Μέσȣ Παρακειμένȣ.

§. τέ. Ἔτι ὁ Δεύτερος 'Αόρισος ἀπὸ βαρυτόνȣ Θέματος γινόμενος, ἰσοσυλλαβεῖ τῷ Πρώτῳ. οἷον, ἔτυψα. ἔτυπον. ἤκȣσα, ἤκȣον. 'Απὸ δὲ περισπωμένȣ γινόμε-